# Μεγάλη Τρίτη

## Μνεία τῆς τῶν δέκα Παρθένων παραβολῆς

**Τροπάριον.** Ἦχος πλ. δ΄.

Ἰδοὺ ὁ Νυμφίος ἔρχεται ἐν τῷ μέσῳ τῆς νυκτός· καὶ μακάριος ὁ δοῦλος, ὃν εὑρήσει γρηγοροῦντα· ἀνάξιος δὲ πάλιν, ὃν εὑρήσει ῥαθυμοῦντα. Βλέπε οὖν, ψυχή μου, μὴ τῷ ὕπνῳ κατενεχθῇς, ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς, καὶ τῆς βασιλείας ἔξω κλεισθῇς· ἀλλὰ ἀνάνηψον κράζουσα· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν· διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.



*Ἱ. Εἰκὼν (ΙΕ΄ αἰ.), Ἱ. Μ. Ἁγίων Θεοδώρων Κερκύρας.*

**Ἐξαποστειλάριον.** Ἦχος γ΄.

Τὸν νυμφῶνα Σου βλέπω, Σωτήρ μου, κεκοσμημένον, καὶ ἔνδυμα οὐκ ἔχω, ἵνα εἰσέλθω ἐν αὐτῷ· λαμπρυνόν μου τὴν στολὴν τῆς ψυχῆς, Φωτοδότα, καὶ σῶσόν με.


*Μικρογραφία (1693), κώδ. ΒΑΝ Αρχ. κομ. 379, φ. 591β.*

**Κοντάκιον.** Ἦχος β΄.
Τὰ ἄνω ζητῶν.

Τὴν ὥραν, ψυχή, τοῦ τέλους ἐννοήσασα, καὶ τὴν ἐκκοπήν, τῆς συκῆς δειλιάσασα, τὸ δοθέν σοι τάλαντο, φιλοπόνως ἔργασαι ταλαίπωρε, γρηγοροῦσα καὶ κράζουσα· Μὴ μείνωμεν ἔξω τοῦ νυμφῶνος Χριστοῦ.

**Στίχοι.**

Τρίτη μεγίστη Παρθένους δέκα φέρει,
Νίκην φερούσας ἀδεκάστου Δεσπότου.

## Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Τρίτῃ

**Τῆς** τῶν δέκα παρθένων παραβολῆς τὴν ἀνάμνησιν ποιούμεθα σήμερον, ἣν ἐλάλησεν ὁ

Ἰησοῦς μετὰ καὶ ἄλλων τοιούτων παραβολῶν, ἐρχόμενος ἐπὶ τὸ πάθος.

**Δ**ιδάσκει δὲ ἡμᾶς ἡ παραβολὴ αὕτη, ἵνα μὴ τὸ μέγα τῆς παρθενίας ἔργον κατορθοῦντες, ἀμελῶμεν τῶν λοιπῶν, καὶ μάλιστα τῆς ἐλεημοσύνης, δι᾽ ἧς ἡ λαμπὰς τῆς παρθενίας φαιδρύνεται. Ἔτι δὲ ἵνα, τὸ τέλος τῆς ζωῆς ἡμῶν ἀγνοοῦντες, ὑπάρχωμεν πᾶσαν ὥραν ἕτοιμοι πρὸς αὐτό, ὡς αἱ φρόνιμοι παρθένοι, πρὸς τὴν τοῦ νυμφίου ἀπάντησιν, μήποτε, αἰφνιδίως ἐλθόντος αὐτοῦ, καὶ κλεισθείσης τῆς θύρας τοῦ οὐρανίου νυμφῶνος, ἀκούσωμεν καὶ ἡμεῖς, ὡς αἱ μωραί, τὴν φρικτὴν ἐκείνην ἀπόφασιν. Ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς.

❖



*Ἱ. Εἰκὼν (ιϛ´ αἰ.) Ἑλληνικῆς τέχνης, Μουσεῖον Recklinghausen, Γερμανία.*